# TEZAUR LITURGIC

## 19 IUNIE

AGATONIKOS NIKOLAIDIS

# SLUJBA SF.IERARH IOAN MAXIMOVICI, ARHIEPISCOPUL SAN FRANCISCO

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 02 ΙΟΥΛΙΟΣ
# ΙΩΑΝΝΗΣ ΜΑΞΙΜΟΒΙΤΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΣΑΓΚΑΗΣ ΚΑΙ ΣΑΝ ΦΡΑΝΣΙΣΚΟ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα ἀρχιμ. Ἀγαθονίκου Νικολαΐδη**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ’, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ, Ἰωάννη ἔνδοξε, ἀσκητικαῖς ἀγωγαῖς, καὶ δακρύων προσχύσεσι, καὶ παννύχοις στάσεσι, τὴν ψυχήν σου ἐλάμπρυνας· ὅθεν ἀνέπτης πρὸς τὴν κατάπαυσιν, τὴν θείαν μάκαρ καὶ κατεσκήνωσας, ἔνθα χορεύουσι τῶν Ἀγγέλων Τάγματα χαρμονικῶς, πάντων τῶν Ἁγίων τε χοροὶ τρισόλβιε

Πάτερ, Ἰωάννη Ὅσιε, ἀρχιερέων σεμνόν, καὶ λαμπρὸν ἀκροθίνιον, ὀρφανῶν τροφέα δέ, καὶ προστάτην θερμότατον, ἀδικουμένων τὸ καταφύγιον, καὶ τῶν νοσούντων ἰατρὸν ἄμισθον, πάντες γινώσκομεν, οἱ πιστῶς προσπίπτοντες, θήκῃ λαμπρᾷ, τῶν σεπτῶν λειψάνων σου, θεομακάριστε.

Πάτερ, Ἰωάννη πάνσοφε, Ὀρθοδοξίας φωστήρ, οἰκουμένης ἀγλάϊσμα, τιμαλφὲς κειμήλιον, Ἐκκλησίας τὸ καύχημα, Χριστὸν δυσώπει ὑπὲρ τῶν

πόθῳ σου, νῦν ἐκτελούντων σεπτὴν πανήγυριν· ἵνα γεραίροντες, μνήμην τὴν σὴν ἔνδοξε περιχαρῶς, τὰ θεῖά σου λείψανα κατασπαζώμεθα.

Πάτερ, Ἰωάννη Ὅσιε, σὺ ἀληθῶς ἐκ Θεοῦ, φερωνύμως δεδώρησαι, ἀνελπίστως εὔσπλαγχνε, τῷ λαῷ σου κραταίωμα, πάρεσο μέσῳ ἡμῶν τρισόλβιε, ὡς προεξάρχων τῆς πανηγύρεως· ἔπαρον χεῖράς σου, πρὸς Θεὸν ἱκέτιδας, ὑπὲρ λαοῦ, ἐπταικότος ἔνδοξε, Χριστοῦ ἐκτύπωμα.

*Δόξα. Ἦχος πλ. β΄.*

Εὐτρεπιζέσθωσαν σήμερον, ὁ οὐρανὸς καὶ ἡ γῆ, ἐπὶ τῇ μνήμῃ τοῦ Ἱεράρχου Ἰωάννου· ὁ μέν, τὴν ψυχὴν αὐτοῦ κεκτημένος, ὡς τιμαλφέστατον κειμήλιον· ἡ δέ, ὡς θησαυρὸν πολύτιμον, κατέχουσα ἀλώβητον τὸ σῶμα αὐτοῦ. Ἄγγελοι καὶ ἄνθρωποι ὁμοῦ, χαρμονικῶς αὐτῷ ἐκβοήσωμεν· χαίροις, τῆς Ἐκκλησίας κλέος, ἀρχιερέων ἀκροθίνιον· μὴ διαλίπῃς, πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων τὴν πανσέβαστον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον.*

*Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης Χριστέ.*

Θαυμάτων σου ἐνέπλησας, τὴν οἰκουμένην ἅπασαν, Ἰωάννη Ἱεράρχα τοῦ Χριστοῦ, ὡς ἔχων παῤῥησίαν, πρεσβεύων μὴ ἐλλίπῃς, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Προστάτην ὀρφανῶν καὶ πτωχῶν, γινώσκομέν σε ἅπαντες, Ἰωάννη, οἱ κυκλοῦντες νοερῶς, τὰ θεῖα λείψανά σου· δυσχερειῶν καὶ νόσων, καὶ πειρασμῶν ἡμᾶς ἀπάλλαξον.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Μακάριε θεράπον Χριστοῦ, Ἀγγέλων ἰσοστάσιε, ἐξελοῦ με, πειρασμῶν καὶ λυπηρῶν, καὶ θυμηδίαν δίδου, ἵνα σὲ Ἰωάννη, εἰς τοὺς αἰῶνας μεγαλύνω Σε.

*Δόξα. Τριαδικόν.*

Τὴν ἄκτιστον Τριάδα ὑμνῶ, αἰτίαν τῆς τῶν πάντων ζωῆς, τὸν Πατέρα καὶ Υἱόν, σὺν ἀγαθῷ Πνεύματι παναγίῳ, ἄληπτον θεαρχίαν, ἁπλὴν ἀμέριστον τρισήλιον.

*Καὶ νῦν. Θεοτοκίον.*

Μαρία καθαρώτατον, Χριστοῦ κατοικητήριον, κεκτημένοι, πάντες οἱ πιστοί, ἄγκυραν σωτηρίας, καὶ πύργον ἀσφαλείας, Σὲ μεγαλύνομεν Θεόνυμφε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε*

Ἐν κόσμῳ ἐβίωσας ὡς ἀσκητὴς θαυμαστός, καὶ γέγονας στήριγμα τῶν λογικῶν τοῦ Χριστοῦ, προβάτων μακάριε· ἄφθαρτον τὸ σὸν σκῆνος, καὶ ἀκέραιον ὤφθη, ῥέον ἀδιαλείπτως τῶν θαυμάτων τὴν χάριν· διό σε ὦ Ἰωάννη σοφέ, πόθῳ γεραίρομεν.

*Δόξα. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Τῆς Ῥωσσίας τὸν γόνον καὶ Σανγκάης τὸν ἔφορον, τῆς Ἀμερικῆς τὸν προστάτην, Ἰωάννην τιμήσωμεν· σεπτῶν ἀρχιερέων καλλονήν, χηρῶν καὶ ὀρφανῶν τὸν πλουτιστήν· τῶν θαυμάτων γὰρ παρέχει τὰς δωρεάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β'. Ποίοις εὐφημιῶν.

Πόθῳ, ἀνευφημεῖν σπεύδουσι, δίδου σὴν ἀντίληψιν Πάτερ, Ἰωάννη θεῖε λαμπρότατον, τῶν ἱεραρχῶν σεμνολόγημα· τῶν γὰρ ἀρετῶν σου τὰς ὑψώσεις, ὑμνῆσαι, κατορθωμάτων δὲ τὸ πέλαγος, οὐδείς σου, τῶν γηγενῶν ἰσχύσει Ἅγιε· καὶ τῶν καμάτων τοὺς

πόνους, οὓς σὺ ἔτλης ἔνδοξε, καὶ θαυμάτων τοὺς κρουνούς, Χριστὸς οὓς παρέσχε σοι, τῆς ἀγάπης σου ἀντίδοσιν.

Ποίοις, οἱ γηγενεῖς ἄνθεσι, στέψωμέν σε ἱεράρχα, τῶν γὰρ ἀρετῶν σου τὸ μέγεθος, ὑπερβαίνει πᾶσαν ἔννοιαν· τῶν ἀΰλων λειτουργῶν γὰρ ἐγένου, θεράπων καὶ μιμητὴς καὶ ἐγκαλλώπισμα, ἀμώμως, τελέσας βίου σου τὸν δόλιχον· ἐν οὐρανίοις θαλάμοις συνευφραίνει Ὅσιε, Ἀσωμάτων τοῖς χοροῖς, καὶ Ἁγίων τάξεσι, εἰς αἰῶνας ἀξιάγαστε.

Χάριν, παρὰ Θεοῦ εἴληφας, θεραπεύειν πᾶσαν νόσον, τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος, τῶν σοὶ πελαζόντων τρισόλβιε· καὶ τῆς δυσθυμίας λύειν νέφη, παθῶν τε, ἐξακοντίζειν ἑσμὸν ἅπαντα, τοῖς πόθῳ καὶ εὐλαβείᾳ σοι τυγχάνουσι· τῆς Ἐκκλησίας γὰρ βάσις, καὶ πιστῶν προτείχισμα, ἐν ἐσχάτοις ὤφθης καιροῖς, Ἰωάννη μακάριε, παρέχων τὸ μέγα ἔλεος.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Καὶ καθ’ ὕπαρ φαινόμενος, καὶ ὀνείροις τρισόλβιε, ὁδηγεῖς τὰ τέκνα σου ἀκριβέστατα, ὡς συμπαθὴς καὶ φιλόστοργος, προστάτης θερμότατος, καὶ ὡς θεῖος ἀρωγός, καὶ ὡς ῥύστης ἐν θλίψεσι, ἀξιάγαστε, Ἰωάννη πατὴρ ἡμῶν θεόφρον, τῶν τελούντων σου τὴν μνήμην, δεινῶν παντοίων περίσωζε.

Συμφοραῖς περιπίπτοντας, καὶ ἀνάγκαις δεόμεθα, φώτισον τὸν νοῦν ἡμῶν ὡς ἀείποτε, ποιεῖν Κυρίου τὸ θέλημα, ἐξ ὅλης δυνάμεως, καὶ αὐτῷ ἀκολουθεῖν, τὸν

σταυρὸν ἡμῶν αἴροντας ἱερώτατε, ἀτραποῖς πολυτρόποις ταῖς τοῦ βίου, ἐξελὼν ἡμᾶς εὐχαῖς σου, δυσχερειῶν τε καὶ θλίψεων.

Ταπεινώσει ὑψούμενος, καὶ ἀσκήσει κοσμούμενος, ἀρεταῖς ἐξέλαμψας ὡς ἀσώματος· δεικνὺς ἡμῖν ἀληθέστατα, ὁδὸν πρὸς τὴν θέωσιν, τὴν μετάνοιαν σοφέ, ἧς τυχεῖν ἡμᾶς πρέσβευε, Πάτερ Ἅγιε, καὶ ἀξίους καρποὺς αὐτῆς ποιῆσαι, τοὺς κυκλοῦντας καὶ τιμῶντας, σορῷ ἁγίων λειψάνων σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἐξέλαμψεν ἡμῖν, ὡς ἀστὴρ διαυγέστατος, ὁ μέγας ἐν ἱεράρχαις, Ἰωάννης ὁ Μαξιμόβιτς, τῆς Ἐκκλησίας καταφωτίζων δεῦτε πάντες οἱ πιστοί, αὐτῷ προσδράμωμεν, καὶ ὑμνῳδίαις καταστέψωμεν, βοῶντες αὐτῷ· χαίροις, ἀρχιερέων καλλονή, καὶ κανὼν ἀκριβέστατος, ὁ ἐν ἐσχάτοις τοῖς χρόνοις, παρὰ Χριστοῦ δωρηθεὶς τῇ Ἐκκλησίᾳ Αὐτοῦ· χαίροις, ὁ τῶν Ἁγίων ἁπάντων ταῖς ἀρεταῖς ἐντρυφήσας καὶ συλλέξας ὥσπερ μέλισσα, τὸ ἥδιστον νέκταρ αὐτῶν· χαίροις, ὁ ἀφθαρσίᾳ τιμηθεὶς παρὰ τοῦ Παμβασιλέως Χριστοῦ καὶ ταῖς ἀΰλοις δυνάμεσι συγχορεύων καὶ συναυλιζόμενος. Μὴ διαλίπῃς πρεσβεύειν, ἱεραρχῶν τιμαλφὲς ἀκροθίνιον, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει

Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*
*Ἀναγνώσματα*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν.

Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι΄.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία.

Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Εὐφραίνου καὶ ἀγάλλου, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ἐπὶ τῇ μνήμῃ τοῦ ἱεράρχου, Ἰωάννου τοῦ Μαξίμοβιτς· ἐκλεκτὸς γὰρ τῆς Ῥωσσίας γόνος, ἐξανέτειλεν ἡμῖν, τῶν θαυμάτων ταῖς βολαῖς ἐξικνούμενος, ἕως ἐσχάτων τῆς οἰκουμένης, τὰς καρδίας καταφαιδρύνων τῶν πιστῶν, καὶ πρεσβεύων ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Ἦχος β'.*

Ἰωάννη μακάριε, ἀρχιερέων κανὼν καὶ ἀκρότης, καὶ πιστῶν στήριγμα, πρέσβευε ὑπὲρ πάντων ἡμῶν, πρὸς Κύριον δεόμεθα.

*Ἦχος γ΄.*

Τὸν τῶν Ἀποστόλων ὁμότροπον, καὶ τῆς Ἐκκλησίας διδάσκαλον, τῶν πτωχῶν τροφέα καὶ προστάτην, τὸν αὐτόπτην τῶν ἀποῤῥήτων μυστηρίων, καὶ θαυματουργὸν μέγιστον, Ἰωάννην τὸν ἀοίδιμον, πίστει καὶ πόθῳ τιμήσωμεν, ἐκβοῶντας πρὸς αὐτόν· μὴ διαλίπῃς πρεσβεύειν ἱεράρχα, ὑπὲρ ἡμῶν πρὸς Κύριον, τῶν ἐκτελούντων τὴν μνήμην σου.

*Ἦχος δ΄.*

Τῶν ἱεραρχῶν σεμνότατον ἀκροθίνιον, ἐν ἐσχάτοις χρόνοις φανερωθέντα ἡμῖν, συνελθόντες ὦ φιλέορτοι, ἀνυμνήσωμεν λέγοντες· ὁ ἀφθαρσίᾳ τιμηθείς, καὶ θαυμάτων τοῖς κρουνοῖς, καταρδεύων τὴν οἰκουμένην, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς οὐρανῶν Βασιλείας, εὐχαῖς σου τρισόλβιε.

*Δόξα. Ὁ αὐτός.*

Σήμερον ἐξέλαμψεν ἡμῖν, τοῦ ἱεράρχου Ἰωάννου ἡ πανσεβάσμιος μνήμη, καὶ ἐκ περάτων τῆς οἰκουμένης συναθροισθέντες, αὐτῷ ἐκβοήσωμεν· χαίροις, ὁ ἐκ νεότητος ἀνατεθεὶς τῷ Χριστῷ, δι’ ἀρετῆς καὶ ἀσκήσεως· χαίροις, τῆς ἐγκρατείας κανὼν ἀκριβέστατος, καὶ τῆς προσευχῆς ὁ ἄγρυπνος ὀφθαλμός· χαίροις, τὸ τῆς ἀγάπης ταμεῖον, καὶ διακρίσεως λύχνος ὁ ἀκοίμητος. Ἀλλ’ ὦ παμμακάριστε Πάτερ, πρέσβευε ὑπὲρ ἡμῶν πρὸς Κύριον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ἱεραρχῶν καλλονή, τῆς Ἐκκλησίας ἱερὸν περιτείχισμα, ὁ πάντων ἀποτειχίζων αἱρετικῶν προσβολάς, καὶ τὰς ἐπινοίας τοῦ ἀλάστορος· τῶν θείων δογμάτων, τηρητὴς καὶ ὑπέρμαχος, Ὀρθοδοξίας τε, κανὼν ἀκριβέστατος, ὁ διδάσκαλος, τῶν πιστῶν καὶ τὸ στήριγμα· πάντων τῶν προστρεχόντων σοι, προστάτης θερμότατος, καὶ ἀρωγὸς ἐν ἀνάγκαις, ἀναδειχθεὶς προθυμότατος, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, πταισμάτων ἄφεσιν.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, τῆς οἰκουμένης φωστήρ, ἐκ τῆς ἑώας ἀνατείλας πανεύφημε, ὁ πᾶσαν τὴν γῆν φωτίσας, δίκην ἡλίου σοφέ, ἀρετῶν ἀκτῖσι καὶ λαμπρότησι· ψυχῆς χωρισθείσης γάρ, ἐκ τοῦ σώματος Ἅγιε, ἡ θεία χάρις, ἀμφοτέροις διέμεινε, σὺν Ἀγγέλοις μέν, τὴν ψυχὴν κατατάξασα· σῶμα δὲ σοῦ τρισόλβιον,

ἀλώβητον ἔδειξεν, ἀφθονοτάτως προχέειν, κρουνοὺς θαυμάτων τοῖς τέκνοις σου, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, τῶν ὀρφανῶν ὁ πατήρ, ἀδικουμένων τε προστάτης θερμότατος, ἁπάντων τῶν ἐν ἀνάγκαις, καὶ ἐν δειναῖς συμφοραῖς, ῥύστης καὶ ἀκέστωρ προθυμότατος· πιστῶν τὸ διάσωσμα, οἰκουμένης προτείχισμα, ἀρχιερέων, ἱερὸν ἐγκαλλώπισμα, τὸ ἡδύπνοον, Ἐκκλησίας ἀγλάϊσμα· μάχαιρα ἡ τοῦ Πνεύματος, ἐκ ῥίζης ἐκτέμνουσα, αἱρετικῶν διδαγμάτων, τὰ μυσαρὰ ἐκβλαστήματα· διὸ Ἰωάννη, τὸν Χριστὸν δυσώπει μάκαρ, ὑπὲρ τῶν δούλων σου.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἰωάννη χαριτώνυμε, εἰ καὶ μετέστης πρὸς οὐρανόν, ἀπολαβεῖν τοὺς στεφάνους τῶν κόπων σου, ἀλλὰ κατέλιπες ἡμῖν, εἰς παρηγορίαν, τὰ χαριτόβρυτά σου λείψανα· διό, εἰ καὶ ἐν οὐρανοῖς σὺν Ἀγγέλων Τάξεσιν συγχορεύεις, καὶ ἡμῖν ἀοράτως πάρεσο, ἐκλυτρῶν ἡμᾶς ἀπὸ τῶν σκανδάλων τοῦ ἐχθροῦ, καὶ παρέχων ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς

ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε*

Ἐν κόσμῳ ἐβίωσας ὡς ἀσκητὴς θαυμαστός, καὶ γέγονας στήριγμα τῶν λογικῶν τοῦ Χριστοῦ, προβάτων μακάριε· ἄφθαρτον τὸ σὸν σκῆνος, καὶ ἀκέραιον ὤφθη, ῥέον ἀδιαλείπτως τῶν θαυμάτων τὴν χάριν· διό σε ὦ Ἰωάννη σοφέ, πόθῳ γεραίρομεν.

*Δόξα. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῆς Ῥωσσίας τὸν γόνον καὶ Σανγκάης τὸν ἔφορον, τῆς Ἀμερικῆς τὸν προστάτην, Ἰωάννην τιμήσωμεν· σεπτῶν ἀρχιερέων καλλονήν, χηρῶν καὶ ὀρφανῶν τὸν πλουτιστήν· τῶν θαυμάτων γὰρ παρέχει τὰς δωρεάς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν σοφέ, πάντες Ἀγγέλων οἱ χοροί, καθορῶντες ἀληθῶς, τῶν ἀρετῶν σου τὴν πληθύν· πῶς μετὰ σώματος ἐξίσχυσας, πρὸς ἀοράτους συμπλοκὰς θεσπέσιε· καὶ γέγονας φωστὴρ τοῖς προσιοῦσί σε, δεικνύων ἀληθῶς, τὴν ἀτραπὸν πρὸς Θεόν, τῆς ταπεινώσεως τρόπους ὑφηγούμενος, τοῖς μετὰ πόθου κραυγάζουσι· ταῖς σαῖς πρεσβείαις ὦ ἱεράρχα, φώτισον τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σὲ Παρθένε εὐσεβῶς, τῶν Ὀρθοδόξων ἡ πληθύς, μεγαλύνει ἀγαθή, ὅτι ἐχώρησας γαστρί, τὸν ἐν δρακὶ κρατοῦντα καὶ συνέχοντα, τὴν πᾶσαν κτίσιν ὡς Θεὸν τοῦ παντός· εν ὕμνοις καὶ ᾠδαῖς, οὐκ εὐποροῦμεν ἡμεῖς, ἀξίως εὐφημεῖν τὰ μεγαλεῖά Σου, ἀλλὰ συγγνώμων φανεῖσα πάναγνε, δυσώπει σωθῆναι πάντας ἡμᾶς, τοὺς προσιόντας μετ᾽ εὐλαβείας, τῇ προστασίᾳ Σου Δέσποινα.

*Μετὰ τὴν β᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Λειψάνῳ σου σορῷ, προσελθόντες προθύμως, σεπτῶν ἱεραρχῶν, ἀκροθίνιον Πάτερ, λαμβάνομεν ἰάματα οἱ δεινῶς μαστιζόμενοι· ὅθεν Ἅγιε, ἐπιφορῶν πολυτρόπων, ῥῦσαι ἅπαντας, ὦ Ἰωάννη τρισμάκαρ, τοὺς πόθῳ τιμῶντάς σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, ὑμνοῦμεν οἱ πιστοί, Θεοτόκε Μαρία, τῷ τόκῳ Σου σωζόμενοι, ἐκ φθορᾶς τοῦ ἀλάστορος· ὅθεν Δέσποινα, ἐκ πειρασμῶν καὶ κινδύνων, ἐλευθέρωσον, τοὺς μεγαλύνοντας πόθῳ, τὸν ἄχραντον τόκον Σου.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἐκ τῆς νεότητος, σὺ ἠκολούθησας, Χριστοῦ τοῖς ἴχνεσιν, δεικνύων ἄριστα, τὸ τῆς ἀγάπης σου στεῤῥόν, πανεύφημε Ἰωάννη· σὺ γὰρ διετράνωσας, ἀφθαρσίᾳ λειψάνου σου, βίου λαμπρότητα, καὶ ἠθῶν κοσμιότητα, ἡμῖν τοῖς μετὰ πόθου κραυγάζουσι· χαίροις πιστῶν τὸ καταφύγιον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Ἀρχαγγέλου Σοί, τὸ Χαῖρε πάναγνε, πάντες προσάγομεν, πιστοὶ κραυγάζοντες, μὴ διαλίπῃς ἀγαθή, πρεσβεύειν πρὸς τὸν Κύριον· πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ Σοῦ οὐκ ἀπώσμεθα, ἄλλην γὰρ οὐκ οἴδαμεν, κραταιὰν πρὸς Φιλάνθρωπον, πρεσβείαν καὶ μεσίτριαν ὄντως, ἢ μὴ Σὲ τὴν Παρθένον τὴν ἄσπιλον.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

Εὐαγγέλιον ἱεραρχικόν.
Ὁ Ν’ ψαλμός.
Δόξα: *Ταῖς τοῦ Ἱεράρχου…*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Τῶν Ὀρθοδόξων τὰ πλήθη, ἐκ περάτων συνελθόντες, τῇ ἱερᾷ σου μνήμῃ ἱεράρχα Χριστοῦ, Ἰωάννη πανόλβιε, ἀνυμνοῦμεν καὶ λέγομεν· χαίροις, τῆς Ἐκκλησίας φωστὴρ καὶ προστάτης θερμότατος, ὁ ἐν ἐσχάτοις τοῖς χρόνοις, δωρηθεὶς παρὰ Χριστοῦ τοῖς πιστοῖς· χαίροις, ὁ κηρύσσων πᾶσι τοῖς λαοῖς, ἀφθαρσίᾳ τῶν σῶν λειψάνων, Εὐαγγελίου τὴν χρηστότητα· ἀλλ’ αἴτησαι Χριστῷ τῷ Θεῷ, ἱεραρχῶν ὡς ἀκρέμων, δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου (κατὰ προτίμησιν τὸ τοῦ Μηναίου, τῆς Ἑορτῆς), καὶ τοῦ Ἁγίου δύο.

*Ὁ α’ Κανὼν τοῦ Ἁγίου.*

*Ὠδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Τῇ εὐσήμῳ ἡμέρᾳ, ἑορτῆς σου σοφέ, πάντες πιστοὶ ἐλθόντες, ἐκ τῶν περάτων τῶν τῆς γῆς, σῶν λειψάνων τὴν σορόν, ἐγγίζοντες νῦν, συμφώνως ὑμνοῦμέν σε, Ἰωάννη τρισόλβιε.

Ἀρετῶν σου ταῖς ἀκτῖσι, καταυγάζεις ἀεί, πάντων τὰς διανοίας, καὶ τὰς καρδίας τῶν πιστῶν, ἐκ τῆς γῆς εἰς οὐρανὸν ἀνάγεις σοφέ, θαυμάτων λαμπρότησι, καὶ χαρίτων σου πλήθεσι.

Ὀρφανῶν σε ὡς προστάτην, καὶ πτωχῶν πλουτιστήν, πάντες σὺν Νικολάῳ, τῷ σεπτῷ ἀρχιερεῖ, ὁμοτρόπῳ σοι σοφέ, τῶν Μύρων Χριστός, ὑμᾶς ἐχαρίσατο, Ἰωάννη μακάριε.

*Θεοτοκίον.*

Θεοτόκε Σὸς θεράπων, Ἰωάννη πιστῶς, πάντοτέ Σοι λατρεύων, ἐκ τῶν ἐγκάτων τῶν τῆς γῆς, Σοὶ ἀνέθηκεν ναόν, ἐν ᾧ εὐσεβῶς, πιστῶν ἡ ὁμήγυρις, Σὲ δοξάζει πανάμωμε.

*Ὁ β’ Κανὼν τοῦ Ἁγίου.*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἀξίως ὑμνῆσαί σε, οὐκ εὐποροῦμεν τρισόλβιε, οἱ πόθῳ τιμῶντές σε, ἱεραρχῶν ἀριστεῦ, τῶν θαυμάτων τε, καὶ ἀρετῶν τὰ πλήθη, ἣν μὴ σὺ ὡς εὔσπλαγχνος, προφθάσῃς Ἅγιε.

Ῥωσσίας τὸ γέννημα, καὶ τῆς Σερβίας διδάσκαλον, Σανγκάης τὸν ἔφορον, Ἀμερικῆς θησαυρόν, οἰκουμένης τε, ὦ Ἰωάννη κλέος, γινώσκομεν Ἅγιε, Χριστοῦ ἐκσφράγισμα.

Ὡς μύρον πανεύοσμον, τῶν ἀρετῶν σου τὸ πέλαγος, δεινὴν σκυθρωπότητα, ἁμαρτημάτων βροτῶν, εξηφάνισεν, ἐκ τῶν τῆς γῆς περάτων, καὶ βίου λαμπρότητα, λαοῖς ὑπέδειξεν.

*Θεοτοκίον.*

Μαρία Θεόνυμφε, καὶ ἀειπάρθενε Δέσποινα, δεινῶν περιστάσεων, ῥύου τὴν ποίμνην Σου, τὴν ὑμνοῦσάν

Σε, καὶ εὐσεβῶς τιμῶσαν, ὡς Νύμφην πανάμωμον, καὶ Θεομήτορα.

*ᾨδὴ γ΄. Δεῦτε πόμα πίωμεν.*

Ὡς ἀρχιερέα τοῦ Χριστοῦ, Ἐκκλησίας ἁπάσης τὸ σεμνολόγημα, τῶν ἀσκητῶν καλλονήν, ἱεραποστόλων ἐμπνευστήν, σὲ πάντες ἔγνωμεν.

Τοῦ ἡλίου δίκην θαυμαστῶς, τὰς βολὰς τῶν θαυμάτων ἐξαπολύοντα, τῇ οἰκουμένῃ σοφέ, καὶ πᾶσι τοῖς πέρασι τῆς γῆς, ὕμνοις γεραίρομεν.

Ἀνακομιδῇ τῶν σῶν σεπτῶν, καὶ ἀφθάρτων λειψάνων Πάτερ τρισόλβιε, τὴν Ἐκκλησίαν Χριστοῦ, ἐφαίδρυνας πάντας δαψιλῶς, προχέων ἰάματα.

*Θεοτοκίον.*

Θεὸν τὸν ἀχώρητον παντί, ἐκ γαστρί Σου ἐχώρησας ὄντως ἄχραντε· ὡς πλατυτέραν καὶ γάρ, γινώσκομεν πάντες οὐρανῶν, θεόνυμφε Δέσποινα.

*Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.*

Τῆς σῆς ἀρετῆς καὶ πολιτείας, λαμπρότητα θέλων ὁ Σωτήρ, φανεῖναι ἐν τοῖς πέρασι, ἔθηκεν ὡς λυχνίαν σε, καὶ ὡς ἐν ὄρει πόλιν τε, ἔδειξε μάκαρ κειμένη σε.

Τῆς σῆς ἐκ νεότητος τρισμάκαρ, λαβὼν τὸν σταυρὸν τὸν τοῦ Χριστοῦ, ἐπ’ ὤμοις τε ἀράμενος, αὐτῷ κατηκολούθησας, καὶ ἀρετῶν ὡς ἔμψυχος, στήλη ἐφάνης θεόληπτε.

Νηστείαις τε καὶ ὁλονυκτίαις, λεπτύνας ψυχῆς σου ὀφθαλόν, τὰ ἄφθαρτα ἑώρακας, ἐκεῖθεν δὲ κατέμαθες, ὑπερορᾶν τὰ πρόσκαιρα, ἐπιθυμεῖν δὲ τὰ κρείττονα.

*Θεοτοκίον.*

Σὲ κλίνην λυχνίαν τε καὶ στάμνον, ὡς ἔφη χορὸς τῶν Προφητῶν, γινώσκομεν καὶ τράπεζαν, ἄρτον ζωῆς βαστάσασαν, βάτον νεφέλην πόκον τε, καὶ ἀρετῶν θείαν κλίμακα.

*Κάθισμα. Ἦχος πλ δ΄. Τὴν σοφίαν καὶ λόγον.*

Ἐκ νεότητος Πάτερ ὡς ἀληθῶς, ἠκολούθησας ἄρας σου τὸν σταυρόν, Χριστῷ οὗ τοῖς ἴχνεσι, θεοφόρε ἐβάδισας, ἀσκητῶν καὶ Ὁσίων τὸν βίον μιμούμενος, καὶ ἀρχιερωσύνην ἀξίαν δεξάμενος· ὅθεν Ἰωάννη, ὁ Χριστός σε βραβεύσας, ποιεῖ τῶν θαυμάτων σου, ἐμπλησθῆναι τὴν ἅπασαν, οἰκουμένην ὡς εὔσπλαγχνος· πρέσβευε Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς μετὰ πόθον τιμῶσι, τὰ θεῖά σου λείψανα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητής, ἐξ ἁγνῶν Σου αἱμάτων σωματωθείς, τὴν φύσιν ἐθέωσεν, τῶν ἀνθρώπων ἐν χάριτι, οὐ τροπὴν ὑπομείνας, φυρμὸν ἢ διαίρεσιν, ἀλλὰ Θεὸς παραμείνας καὶ ἄνθρωπος γέγονεν· ὅθεν Θεοτόκον, ἀληθῶς καὶ ἀξίως, ὑμνεῖν καὶ δοξάζειν Σε, ὀρθοδόξως ἐλάβομεν, τοῖς Πατράσι στοιχούμενοι· Δέσποινα Παρθένε ἁγνή, τῶν παθῶν

μου ἐφόδους κατάβαλε, διὰ πλήθους ἐλέους Σου ἄχραντε.

*ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ὡς ἐθελούσιος ἀμνὸς κατηκολούθεις τῷ Χριστῷ, Μάρτυς γεγονὼς ἑκουσίως, ὑπὲρ οὗ καὶ ἔπασχες, ἀλλ’ οὐδαμῶς ἀντέλεγες· ὅθεν δοξασθεὶς θεοφόρε, σὺν Ἀγγέλων χορεύεις στρατεύμασι.

Τῶν προπατόρων ὁ χορός, χαίρει ὁρῶν σε σὺν αὐτοῖς, μέτοχον γενόμενον δόξης· Προφητῶν δὲ σύσκηνος, γεγονὼς μακάριε, προεδήλου σαφῶς τὰ ἐσόμενα, τοῖς προσιοῦσί σε Πάτερ ὡς εὔσπλαγχνος.

Ἀκατανόητον πολλοῖς καὶ ὑπὲρ φύσιν ἀληθῶς, θαῦμα τὸ ἐν σοὶ θεοφόρε· τὸ γὰρ σῶμα ἄφθαρτον, καὶ μετὰ πότμον ἔμεινε, νόσων καὶ παθῶν πολυτρόπων, ἰαμάτων κρουνοὺς προχεόμενον.

*Θεοτοκίον.*

Σὺ ἐν γαστρὶ τὸν Ποιητὴν τοῦ παντὸς ὡς ἀγαθή, συνέλαβες ἁγνὴ Θεοτόκε· ἀλλ’ ἐμὲ τὸν δύστηνον, μὴ παρίδῃς δέομαι, καὶ ἐξ ἐχθροῦ τῶν παγίδων, μὲ λύτρον ἵνα ὑμνῶ, χαρμοσύνως Σε Δέσποινα.

*Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ*

Ἀνυπόδητος ἠκύρου, πονηροῦ τὰ τοξεύματα, μὴ δοὺς τῇ σαρκί σου, ἄνεσιν οὐδόλως θεσπέσιε· χαμαικοιτίᾳ καὶ πόνοις ἀσκήσεως, κατεμάρανας, τῶν παθῶν τὰς ἐφόδους πανεύφημε.

Τῆς σαλότητος τὰς τρίωους, ἀνιχνεύσας θεόληπτε, καὶ τὰς ἐπινοίας, θλιβερῶν δαιμόνων διέλυσας· μὴ δειλιάσας αὐτῶν τὰ τεχνάσματα, ταπεινώσεως τρόποις, Ἰωάννη ὑψούμενος.

Πᾶσιν ἔδειξας θεόφρον, ὅτι ἡ ὁδὸς πρὸς τὴν θέωσιν, καὶ πρὸς θεἰαν δόξαν, μόνη ἡ ταπείνωσις πάρεστιν, καὶ ἀνεβόας τοῖς τέκνοις σου εὔσπλαγχνε, ταπεινώθητε, ὅπως θεἰας δόξης πλησθήσεσθε.

*Θεοτοκίον.*

Θεοτόκον Σὲ κυρίως, πάντες οἱ πιστοὶ ὀνομάζομεν, καὶ ὑμνολογοῦμεν, χαῖρε Σοὶ Παρθένε κραυγάζοντες, ὡς τῆς ἡμῶν σωτηρίας θησαύρισμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

*ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Ζηλώσας σοφοὺς Ἀποστόλους, εἰς ἄκρα γῆς προθυμότατα ἔτρεχες μάκαρ· καὶ Χριστὸν ἐκήρυττες, τὸν ζωοδότην Κύριον, πᾶσιν ἐλπίδα δωρούμενος.

Τοὺς ἄθλους σαλῶν ἐμιμήσω, ἀποσκοπῶν τῆς ψυχῆς σου καθᾶραι τὴν λέπραν, τῆς ὑπερηφανείας τε, ἀπονεκρῶσαι μάστιγα, ὁλοσχερῶς ἀγαπήσας τὸν Κύριον.

Δακρύων διετέλης παμμάκαρ, καὶ ἀντὶ δώρων τὰ δάκρυα ἤνεγκας τῷ Δεσπότῃ· καὶ παθῶν κατέσβεσας, πυρκαϊὰν πολύαθλε, καὶ ἀρετῶν παγκαρπίαν ἀνέθαλες.

*Θεοτοκίον.*

Ἡ βάτος ἦν τύπος Σου Κόρη, ὡς φλεγομένη πυρὶ καὶ μὴ κατακαιομένη· ὄντως γὰρ ἐκύησας, τὸ πῦρ τῆς θεότητος, ὃ κατεδρόσισε Κόρη Σὲ ἄμωμε.

*Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.*

Ἐξέστησαν Ἄγγελοι, ὁρῶντες τοὺς ἀγῶνάς σου, οὕς περ ἔτλης θεοφόρε, καὶ τῶν Ὁσίων χοροὶ ἐθαύμασαν, ὁρμήν σου ἰδῶντες πρὸς Θεόν, ἥνπερ οὐ κατέστειλεν, οὔτε σὰρξ οὔτε θάνατος.

Ἀφθάρτῳ λειψάνῳ σου, προσέρχονται θεόληπτε, πάντων οἰκουμένης ἐκ περάτων, πιστοὶ αἰτοῦντες πταισμάτων ἄφεσιν, καὶ νόσων πασῶν ἀπαλλαγήν, πειρασμῶν τε λύτρωσιν, φωτισμὸν καὶ ἀνόρθωσιν.

Ὡς θεῖον διδάσκαλον, καὶ ὁδηγὸν πρὸς Κύριον, πάντες σὲ κεκτήμεθα παμμάκαρ· δίδου σοῖς τέκνοις τὴν σὴν βοήθειαν, κὰι φάνηθι πᾶσιν ἀρωγός, καὶ πρὸς τὴν οὐράνιον, τρίβον Πάτερ ὁδήγησον.

*Θεοτοκίον.*

Σὲ μόνη κεκτήμεθα, μετὰ Θεὸν βοήθειαν, σκέπην καὶ παραμυθίαν· σῶζε Σοὺς δούλους Παρθένε ἄμωμε, καὶ δίδου ταχεῖαν ἀρωγήν, καὶ πταισμάτων ἄφεσιν, τοῖς πιστῶς Σε δοξάζουσι.

*Ὠδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Εἰσέδυς μυχίοις καρδίας τῆς σῆς, καὶ κατέμαθες τῆς χάριτος τρόπους, μαθητὴς χρηματίσας Χριστοῦ, καὶ ἐδίδασκες μαθητάς σου τηρεῖν, νοερὰν ἡσυχίαν.

Νηστείᾳ καὶ ἀγρυπνίᾳ συνεχεῖ, χαμευνίᾳ τε καὶ προσευχῇ συντόνῳ, κατεμάρανας σαρκὸς τὰς ὁρμάς· ὅθεν γέγονας μυστηρίων αὐτουργός, καὶ πιστῶν θυμηδία.

Τοῖς λόγοις τοῖς σοῖς ὥσπερ μέλι σοφέ, μαθητῶν σου ὁ χορὸς ἐντρυφῶντες, ἀπαύστως ἀδολεσχοῦσιν αὐτοῖς, καὶ βοῶσί σοι· ἐξοικείωσον ἡμᾶς, τῷ Θεῷ ἱεράρχα

*Θεοτοκίον.*

Τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων ἁγνή, πειρασμῶν τε τὸ κλυδώνιον ὄντως, ἐμάραναν ψυχῆς μου ἀλκήν, ἀλλὰ δέομαι, ὡς ἐκ κήτους Ἰωνᾶν, ἕλκυσόν με Παρθένε.

Ἕτερος. Τὴν θείαν ταύτην.

Τῶν σῶν χαρίτων τὸ πέλαγος, ὑμνεῖν οὐκ ἐξαρκέσομεν πάντιμε, ἡλίου δίκην γάρ, ταῖς ἀρεταῖς σου ἐξέλαμψας, καὶ τὸν βαρὺν χειμῶνα, τῆς πλάνης ἔπαυσας.

Ῥομφαίαν φέρων τοῦ Πνεύματος, ἀπέκοψας τῆς πλάνης διδάγματα, καὶ θείαν ποίμνην σου, αἱρετιζόντων ἐκάθηρας, καὶ τούτων φληναφίας, σοφὲ κατήργησας.

Δογμάτων θείων ἐτράνωσας, ἀλήθειαν σοφὲ καὶ ἐξέκοψας, αἱρετιζόντων ὁρμάς· τῇ δὲ σαγήνῃ τῶν λόγων σου, ἐζώγρησας θεόφρον, πληθὺν θεόσδοτον.

*Θεοτοκίον.*

Ἐν Σοὶ Παρθένε τιθέμενοι, ἐλπίδα σωτηρίας Θεόνυμφε, μὴ αἰσχυνθείημεν· εἰς Σὲ γὰρ πεπείσμεθα, πρὸς Σὲ καταφεύγομεν, Μαρία πάνσεμνε.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὡς τῶν Ὁσίων ἀσκητῶν τὸ ἐγκαλλώπισμα, ἀρχιερέων δὲ Ἁγίων ἰσοστάσιον, ἀνυμνοῦμέν σε τρισόλβιε Ἰωάννη· τῶν Ἁγίων γὰρ ἁπάντων ὥσπερ μέλισσα, ἐτρυγήσω ἀρετὰς καὶ κατεσκεύασας, μέλι πάντιμον· χαίροις, Ἁγίων ἀκροθίνιον.

*Ὁ Οἶκος.*

Ἄνοιξόν μοι τὸ στόμα, ἐπαξίως ὑμνῆσαι, Ἰωάννη τῶν καμάτων σου γέρα· ἀγγελικῶς γὰρ βιώσας ἐν γῇ, πῶς ἐξισχύσω ἐξειπεῖν ἅπαντα; Θάμβει πολλῷ δὲ συνεχόμενος, κραυγάζω σοι τοιαῦτα·

Χαῖρε, χαρὰ τῆς ἐμῆς καρδίας·
χαῖρε, τρυφὴ τῶν παρόντων στίχων.
Χαῖρε, τῆς Ῥωσσίας βλαστὸς εὐθαλέστατος·
χαῖρε, Ἐκκλησίας καρπὸς εὐωδέστατος.
Χαῖρε, τεῖχος τὸ ἀκράδαντον, ταῖς δαιμόνων προσβολαῖς·
χαῖρε, ἔλαφος ὠκύδρομος, ὄφεις κτείνουσα ποσί
Χαῖρε, ὅτι Ἀγγέλων τὰς χορείας ζηλώσας·
χαῖρε, ὅτι δαιμόνων τὰς παγίδας διέδρας.
Χαῖρε, Μαρτύρων γέρα δραξάμενος·
χαῖρε, Θεοῦ τὴν χάριν δεξάμενος.

Χαῖρε, νοσούντων ταχὺς ἀντιλήπτωρ·
χαῖρε, ἀλγούντων ἀκέστωρ τυγχάνων.
Χαίροις, Ἁγίων ἀκροθίνιον.

*Συναξάριον*

Τῇ Β' τοῦ αὐτοῦ μηνός, *Μνήμη τοῦ Ὁσίου Ἰωάννου τοῦ Μαξίμοβιτς, ἀρχιεπισκόπου Σαγκάης καὶ Σὰν Φρανσίσκο.*

*Ἐξ ἑώας ἤστραψας ἡλίου δίκην,*
*ἀλλὰ δυσὶν ηὔφρανας σοῖς τεραστίοις.*
*Δευτερίῃ Ἰωάννην οὗδάς δε ἔθεσαν.*

*ᾨδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.*

Θαυμάτων πηγὴ ὡς ἀκένωτος, λειψάνων σου δείκνυται, θήκη ἡ λαμπρά, πᾶσι πηγάζουσα πιστοῖς, ἰαμάτων κρουνούς, δαιμόνων θλιβερῶν ἀποσμίχούσα, ἐπιφορᾶς μακάριε.

Θανάτου καὶ φθορᾶς ὡς ἀνώτερον, ἐδείχθης μακάριε, σῶμά σου τὸ σεπτόν, ἡ δὲ ψυχή σου ἱερέ, σὺν Ἀγγέλων χορεύει, στρατεύμασι, Τριάδα ὑμνολογῶν τὴν ἄληπτον, εἰς αἰῶνας πανεύφημε.

Εἰκὼν ἀνεδείχθης πραότητος, τῇ ποίμνῃ σου Ἅγιε, πίστεως κανών, ἀρχιερεῦ τοῦ Χριστοῦ, ταπεινώσεως τύπος θεόσδοτος· διόπερ τὰ ὑψηλὰ τῇ πτωχείᾳ, ἐκτήσω παμμακάριστε.

*Θεοτοκίον*

Ὁ πάντων Βασιλεῦς τε καὶ Κύριος, γενόμενος ἄνθρωπος, ἔλαβεν ἐκ Σοῦ, σάρκα καὶ αἷμα καὶ ὀστᾶ,

μὴ φθορὰν ὑποστὰς ἢ διαίρεσιν, καὶ φύσιν τὴν βροτείαν ἐθέωσεν, Θεὸς ὡς ὑπερένδοξος.

*Ἕτερος. Οὐκ ἐλάτρευσαν.*

Τῶν θαυμάτων σου λαβόντες πεῖραν ἔνδοξε καὶ προστασίας σου, ἀναβοῶμεν λαμπρῶς, ᾠδὴν χαριστήριον τῷ σὲ δοξάσαντι· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σὺ θεόληπτε τῆς ἀρετῆς παρίστασο στήλη ὡς ἔμψυχος, τοῖς προσιοῦσι πιστοῖς· Μωσῆς ὥσπερ ἄλλος δέ, χεῖρας ἐξέτεινες, ἀξιάγαστε, Θεὸν ἐξιλασκόμενος, ὑπὲρ ποίμνης Ἰωάννη.

Ἀγγελόμορφε ἀρχιερέων πρόεδρε καὶ ἱερώτατε, ἱκέτευε ἐκτενῶς, Ὁσίων σύσκηνε, ὦ Ἰωάννη σοφέ, δεινῶν ἡμᾶς λύτρωσον, ὥσπερ τυφῶνος τὸ πρίν, σὺ διέσωσας, λαὸν τὸν χειμαζόμενον, ταῖς εὐχαῖς σου θεοφόρε.

*Θεοτοκίον*

Τοὺς ὑμνοῦντάς Σε σκέπε φρούρει καὶ φύλαττε Παρθένε ἄχραντε, παντοίων ἐκ πειρασμῶν, καὶ νόσων καὶ θλίψεων, ἵνα γεραίρομεν καὶ δοξάζομεν, Σὲ Θεοτόκε Δέσποινα, τὴν Μητέρα τοῦ Σωτῆρος.

*ᾨδὴ η΄. Αὕτη ἡ κλητή.*

Ὅλον μου τὸν νοῦν καὶ ψυχὴν καὶ καρδίαν, καὶ ἔφεσιν καὶ πόθον, σοὶ ἀνήγαγον Πάτερ· πειρασμῶν καὶ δεινῶν, τὸν ἱκέτην σου ῥύου πανθαύμαστε, ὡς ἂν εὐλογῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

Δεῦτε Ἰωάννου τοῦ σοφοῦ ἱεράρχου, ὑμνήσωμεν προφρόνως πανσεβάσμιον μνήμην, καὶ ἐγκωμίων πληθύϊ, καταστέψωμεν αὐτὸν ἐκβοῶντες· χαίροις τῶν Πατέρων ἡ πάντιμος προσθήκη.

Πάντες πανηγύρει τοῦ σεπτοῦ ἱεράρχου, ἐκ τῶν τῆς γῆς περάτων, προσέλθωμεν συμφώνως, καὶ ἰαμάτων πληθύν, ἀρυσώμεθα ψυχῆς καὶ τοῦ σώματος, ἐκ λάρνακος θείας, ἀφθάρτου του λειψάνου.

*Θεοτοκίον*

Τέλειον Θεὸν καὶ ἄνθρωπον ὡσαύτως, οἴδαμεν ἐκ Σοῦ, προέρχεσθαι Παρθένε, τὴν φύσιν μὲν διπλοῦν, ἀλλ’ ὑποστάσει μίᾳ γνωριζόμενον, Ὃν καὶ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Ἕτερος. Παῖδας εὐαγεῖς.*

Ἐβίου καιροῖς ἀθεΐας, ἀλλ’ ὅμως ἐδίδασκες τὴν ποίμνην σου, Τριάδα σέβειν ἄκτιστον· αὐτῆς τὰ δικαιώματα, τὴν οἰκουμένην ἅπασαν, ἐγείρεις ψάλλουσαν· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Παῖδας ὀρφανοὺς ἐχειραγώγεις, καὶ τούτους ἐδίδασκες φιλεῖν, τὴν πάνσεπτον Μητέρα Χριστοῦ, Τριάδα τε ἀχώριστον· καὶ σὺν αὐτοῖς ὡς εὔσπλαγχνος Πατὴρ συνέψαλες· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τριάδι ἀκτίστῳ ἐλειτούργεις, αὐτῇ προσεγγίσας δὲ ὡς ἄσαρκος, ὥσπερ καὶ Μωσῆς τὸ πρίν· ἐγείρεις λιθοκάρδια τῶν μαθητῶν σου Ἅγιε, σὺν σοὶ

κραυγάζειν σοφέ· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον*

Σὲ πᾶσαι γενεαὶ μακαριοῦσι, ὡς Σὺ Θεοτόκε προκατήγγειλας, ταπείνωσιν γὰρ κέκτησαι, δι᾽ ἣν καὶ ὁ τῶν ὅλων Θεός, κατῴκησεν Σοι ἄχραντε καὶ Σὲ ἀνέδειξεν, Μητέρα, καὶ χωρίον τοῦ Λόγου, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.*

Εὐφραίνου ἀγάλλου, ὦ Ἰωάννη θαυμαστέ, τοῦ Χριστοῦ ἱεράρχα φίλε ἐπιστήθιε· χόρευε σκίρτα, ἀγάλλου καὶ σύ, πᾶς τῶν πιστῶν σύλλογος θεόφρων, ἔχων αὐτὸν ὡς προστάτην σου.

Εὐπρόσδεκτος ποίου, ὦ ἱεράρχα τοῦ Χριστοῦ, τὴν ἐμὴν ὑμνῳδίαν καὶ μὴ ἀπόῤῥιπτε· ἄκουσον νῦν τοὺς ἐμοὺς στεναγμούς, οὓς ἐκ ψυχῆς προὔφερα τρισμάκαρ, καὶ μὴ παρίδῃς ὡς εὔσπλαγχνος.

Ὦ Πάτερ τρισμάκαρ, ἀρχιερέων καλλονή, σὺν σοφῷ Νικολάῳ τῶν Μυρέων τίθημι, τοῦ ἐμοῦ βίου προστάτας θερμούς, πάντων δεινῶν ἀπολυτρουμένους, καὶ δυσχερῶν περιστάσεων.

*Θεοτοκίον*

Ὦ Ἄνασσα Κόρη, πάντες ἡμεῖς καταφυγήν, Σὲ κεκτήμεθα ὅσοι ἐπὶ Σὲ ἠλπίκαμεν· ποίει πρεσβείαν ἀεὶ Σῷ Υἱῷ, πάντας ἡμᾶς ῥύσασθαι πάναγνε, τῆς αἰωνίου κολάσεως.

*Ἕτερος. Ἅπας γηγενής.*

Κόρος ἀληθῶς, πιστοῖς οὐ προσγίνεται, τοῖς εὐφημοῦσί σε, Ἰωάννη πάνσοφε, σὺ φερωνύμως γὰρ δῶρον πέφυκας, παρὰ Θεοῦ τοῖς δούλοις σου, οὓς διαφύλαξον, σαῖς πρεσβείαις, ἱεράρχα ἔνδοξε, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Πόθου ἐκ ψυχῆς, ἐτόλμησα πάντιμε, τὰς ἀριστείας σου ἀνυμνολογῆσαί τε, καὶ εὐφημῆσαι ἔνθεον βίον σου· σὺ ὡς πατὴρ φιλόστοργος, συγγνώμων φάνηθι, καὶ πταισμάτων, ἀντίδος μοι ἄφεσιν, Ἰωάννη σοφὲ ἀξιάγαστε.

*Τριαδικόν.*

Τριὰς ὁ Θεός, Πατὴρ ὁ ἀγέννητος, Υἱὸς δὲ ὁ γεννητός, Πνεῦμα τὸ πανάγιον, τὸ ἐκ Πατρὸς ἀχρόνως ἐκπορευόμενον· Σὲ προσκυνοῦμεν ἅπαντες καὶ ἀνυμνοῦμεν ἀεί, θεαρχία, ἁπλὴ ἀδιαίρετε, σῶζε πάντας ἡμᾶς τοὺς ἱκέτας Σου.

*Θεοτοκίον*

Ἔπιδε ἁγνή, νῦν ἐπὶ τὴν κάκωσιν, τῆς ταπεινῆς μου ψυχῆς· πειρασμοὶ γὰρ πάντοθεν, κυκλοῦσιν ταύτην οἵάπερ κάμινος· ἣν κατασβέσαι Δέσποινα, σεμνὴ αἰτοῦμαί σε, καὶ δροσίσαι πρεσβειῶν Σου νάμασι, καὶ πρὸς τρίβους ζωῆς ὁδηγῆσαί με.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἱεραρχῶν ἀκρέμονα, καὶ ἀσκητῶν τὸ καύχημα, τῶν ὀρφανῶν τὸν προστάτην, Ἰωάννην ὑμνοῦμεν· τὴν

οἰκουμένην πᾶσαν γάρ, ἐνέπλησεν τοῖς θαύμασι, καὶ σὺν Ἀγγέλοις χορεύει, καὶ Ἀποστόλων τοῖς δήμοις.

*Ἕτερον. Ὅμοιον.*

Τὸ τῆς Ῥωσσίας βλάστημα, Σανγκάης δὲ τὸν ἔφορον, Ἀμερικῆς τὸν προστάτην, ὦ Ἰωάννη τιμῶμεν· ταῖς ἀρεταῖς ἀστράψας γάρ, τὴν οἰκουμένην ἅπασαν, δίκην ἡλίου φωτίζεις, λύων παθῶν τὰς ὁμίχλας.

*Θεοτοκίον*

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γέγονας ὄντως, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Ὀρθοδοξίας ὁ στῦλος καὶ ἡ εὐπρέπεια, ἀρχιερέων κλέος, Ἐκκλησίας κοσμήτωρ, ἡ δίστομος ῥομφαία αἱρετικά, φληναφήματα τέμνουσα, ὀρθοτομοῦσα δὲ δόγματα ἀκριβῶς, τῇ δυνάμει τῇ τοῦ Πνεύματος.

Δικαστικῶν πρὸ βημάτων Πάτερ παρέστηκας, ὑπὸ σῶν ψευδαδέλφων, ἐγκαλούμενος μάκαρ, συγγνώμων δὲ καὶ εὔσπλαγχνος ἐμφανείς, ὡς ἀρνίον τε ἄκακον, καὶ μιμητὴς τοῦ Σωτῆρος ἀναδειχθείς, οὐδαμῶς σὺ ἀνταπέδωκας.

Τῶν ἀρετῶν σου τὰ πλήθη τίς ἐξαρκέσειεν, ἀπαριθμῆσαι Πάτερ; ἐνεοὶ δὲ ὁρῶντες, ἀφθάρτων σου λειψάνων θήκην λαμπράν, εὐσεβῶς σοι κραυγάζομεν, τῆς σωτηρίας τὰς τρίβους εὔθυνον νῦν, ὡς Πατὴρ ἡμῶν φιλόστοργος.

Ἐν οὐρανοῖς σὺν Ἀγγέλοις συναυλιζόμενος, καὶ συγχορεύων Πάτερ, Ἰωάννη θεόφρον, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν κυκλούντων ἐν πνεύματι, θείων λειψάνων σου θήκην καὶ ἱερῶς, ἐκτελούντων σὴν πανήγυριν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τὴν σὴν χάριν τῇ κλήσει κατάλληλον, ὑπέδειξας Ἰωάννη Πατὴρ ἡμῶν· δῶρον γὰρ ὡς ἀληθῶς, τῇ Ἐκκλησίᾳ ἐγνώσθης θεόσδοτον, καθιλαρύνων τὰς ψυχὰς ἡμῶν· τὴν ἀγάπην γάρ, τῇ ἐγκρατείᾳ συγκεράσας πανόλβιε, εὗρες τὰς ἀρετάς, τῆς προσευχῆς ἐπίβασιν· ἀλλὰ πρέσβευε ἱεραρχῶν ὁ ἀκρέμων, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τὸν ἐν ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις, προθυμότατον βοηθόν, πενήτων προστάτην, καὶ θλιβομένων ῥύστην, τὸν μέγαν Ἰωάννην, πόθῳ ὑμνήσωμεν.